Msc. Dresd.
A 150.

http://digital.slub-dresden.de/ppn345561333/1

http://digital.slub-dresden.de/ppn345561333/2

http://digital.slub-dresden.de/ppn345561333/3

6. 3. 1908 für Dr Lüdtke an die Kieler Univers. Bibliothek übersandt

http://digital.slub-dresden.de/ppn345561333/4

Τοῦ ἐν ἁγίοις [1] πατρὸς ἡμῶν [2] Γρηγορίου τοῦ Θεολόγου ἐξήγησις τῶν ἐπιταφίων ἱστοριῶν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείου τοῦ μεγάλου.

---

α.

Πρώτη ἐστὶν ἱστορία ἡ περὶ τῶν πελοπιδῶν καὶ κεκροπιδῶν καὶ τῶν σὺν αὐτοῖς ὀνομαστῶν. οἱ τῶν ἔξω ῥήτορές τε καὶ σοφισταὶ βουλόμενοι τὸν ἐγκωμιαζόμενον παρ᾽ αὐτῶν εὐγενέστατον δεῖξαι, λέγουσιν, ὡς ἐκεῖνος τὸ γένος κατάγει, εἰ τύχοι, ἀπὸ πέλοπος ἢ κέκροπος ἢ ἡρακλέους ἢ τῶν ἄλλων τῶν νομισθέντων ἡρώων, καὶ ἄλλως πως ἀγαθῶν γενομένων ἀνδρῶν. Φησὶν οὖν ὁ θεῖος γρηγόριος, ὅτι οἱ τοῦ θειοτάτου βασιλείου προπάτορες μείζους καὶ εὐγενέστεροι ἦσαν τῶν νομιζομένων παρὰ τοῖς ἔξω εὐγενῶν. καὶ ὁ μὲν νοῦς τοῦ ἁγίου γρηγορίου τοῦτο βούλεται. εἰπεῖν δὲ δεῖ, τίνες οὗτοι, οἷον ὁ πέλοψ καὶ ὁ κέκροψ, καὶ ἀλκμαίων καὶ ἡρακλῆς. οἱ γὰρ τούτων ἀπόγονοι λοιπὸν λέγονται, ἀπὸ μὲν τοῦ πέλοπος, πελοπίδαι, οἱ δὲ ἀπὸ τοῦ κέκροπος, κεκροπίδαι, οἱ δὲ ἀπὸ τοῦ ἀλκμαίωνος, ἀλκμαιωνίδαι, οἱ δὲ ἀπὸ τοῦ ἡρακλέους, ἡρακλεῖδαι, καὶ οἱ ἀπὸ τοῦ αἰακοῦ, αἰακίδαι. εἴπωμεν οὖν πρῶτον, τίς ὁ πέλοψ. πέλοψ υἱὸς γέγονε ταντάλου φρυγίας βασιλέως. ὁ τάνταλος δὲ οὗτος πολλαχοῦ ἐξηχηκὼς μέχρι ἴλου τοῦ κτίσαντος τὸ Ἴλιον τὸ ἐπὶ τροίας, καὶ φοβούμενος τὴν ἧτταν,

1) Ex Cod. in fol. num. LV. In eodem Codice leguntur quoque explicationes historiarum, quarum fit mentio in oratione eiusdem εἰς τὰ φῶτα, et in utrumque λόγον στηλιτευτικόν. Explicationes historiarum duarum ultimarum orationum iam edidit Montacutius Etonae 1610. 4. Explicationes historiarum orationis εἰς τὰ φῶτα leguntur quoque in Cod. in fol. num. LXIV. ~~ex quo alio tempore eas edam.~~

2) ~~Hic~~ in ~~fronte~~ recentior paullulum manus adscripserat: οὐκ ἔστιν αὕτη ἡ ἐξήγησις τοῦ ἁγίου, ἀλλὰ Νόννου τοῦ ἀββᾶ. Nonno has enarrationes fabularum tribuit quoque Montacutius in Praefat. l. l.

http://digital.slub-dresden.de/ppn345561333/5

ἐπέτρεψε τῷ πέλοπι τῷ ἰδίῳ παιδί, λαβόντι χρή-
ματα ἀπᾶραι ἐπὶ τὴν ἤπειρον, εἰπὼν ταῦτα, ὅτι
ἐὰν μὲν νικήσω, ὑποστρέψεις πάλιν εἰς τὴν φρυ-
γίαν, ἐὰν δὲ ἡττηθῶ, μένε εἰς τὴν εὐρώπην.
λαβὼν οὖν ὁ πέλοψ χρήματα ἦλθεν εἰς τὴν
ἑλλάδα, ἐν χώρᾳ ἀπίᾳ καλουμένῃ, ἥτις ἀ-
πία χώρα βασιλέα εἶχε τὸν οἰνόμαον, ἔχον-
τα θυγατέρα ἱπποδάμειαν ὀνόματι. εἶτα ἀ-
γωνισάμενος ἐνταῦθα ὁ πέλοψ ἱππικὸν
ἀγῶνα μετὰ οἰνομάου καὶ νικήσας, ἔλαβε
γυναῖκα τὴν τοῦ οἰνομάου θυγατέρα ἱππο-
δάμειαν, καὶ κατέσχε τὴν χώραν καὶ ἀν-
τὶ ἀπίας ἐκάλεσεν αὐτὴν πελοπόννησον,
ὅ ἐστιν ἡ τοῦ πέλοπος νῆσος. πάντες οὖν
οἱ ἀπὸ τοῦ πέλοπος καλοῦνται πελοπί-
δαι, οἷον ἀτρεύς, θυέστης, ἀγαμέμνων καὶ
μενέλαος, καὶ τελευταῖος ὀρέστης. καὶ
περὶ μὲν τοῦ πέλοπος τοσαῦτα· περὶ δὲ
τοῦ κέκροπος ἤδη λέξω.

Κέκροψ βασιλεὺς γέγονεν ἀθηνῶν, ὃς μεγά-
λως τὴν ἀττικὴν κατεκόσμησεν. οὗτος δέ ἐ-
στιν, ὁ διφυὴς καλούμενος. ἐκαλεῖτο δὲ δι-
φυής, ὅτι δύο φωνὰς ἦν ἠσκημένος, μίαν
μὲν τὴν τῆς ἑλλάδος, μίαν δὲ τὴν τῆς αἰγύ-
πτου. λέγεται γάρ, ὅτι ἀθηναῖοι ἄποικοι εἰ-
σιν αἰγυπτίων, ἀπὸ σάεως πόλεως. ἡγεμὼν
οὖν τῆς ἀποικίας γέγονεν οὗτος ὁ κέκροψ,
καὶ ἦλθεν εἰς τὴν ἑλλάδα, φωνὴν ἔχων
καὶ τὴν αἰγυπτίαν. ὁ δὲ λόγος ὁ λέγων αὐτόχθονας

εἶναι Ἀθηναίους, μῦθός ἐστι, λαβὼν τὸ πλάσμα
ἀπὸ τοῦ μηδέποτε ἀπωσθῆναι, μᾶλλον δὲ ἀνα-
στῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν. λεπτό-
γεως γὰρ οὖσα ἡ χώρα οὐ πάνυ ἦν ζηλωτὴ
καὶ ἄλλους εἰσοικῆσαι. περὶ μὲν Κέκροπος
ἅλις. εἰπεῖν δὲ δεῖ περὶ Ἀλκμαίωνος.
Ὁ Ἀλκμαίων οὗτος, Ἀθηναῖος ἦν τὸ γένος ἐπί-
σημος λίαν τὴν ἐλευθερίαν ἀεὶ φυλάττειν θέλων
τοῖς Ἀθηναίοις. τυραννηθείσης οὖν τῆς πόλεως
ὑπὸ Πεισιστράτου, ἐξῆλθεν οὗτος μὴ φέρων ὁρᾶν
δουλευούσας τὰς Ἀθήνας. ἐξελθὼν οὖν μηχανᾶται
καὶ σκοπὸν εἶχε, πῶς τὴν ἐλευθερίαν ἀποκαταστή-
σοι Ἀθηναίοις. ἀπελθὼν οὖν εἰς Ἀπολλώνιον
ἱερὸν ἐκμισθοῦται παρὰ Δελφῶν τὸ ἱερὸν ἐπὶ μι-
σθοφορίᾳ· ἐκμισθωσάμενος δέ, καὶ ἔχων λοιπὸν
ὑφ' ἑαυτὸν πάντας, καὶ πάσας τὰς τοῦ θεοῦ δια-
κόνους, πείθει τὴν ἱέρειαν τὴν Πυθίαν, εἰ ἔλθοι
ποτὲ Λακεδαιμόνιος μαντευσόμενος, μηδὲν
ἄλλο λέγειν αὐτῷ ἢ ὅτι ἐλευθεροῦν τὰς Ἀ-
θήνας λέγει ὑμῖν ὁ θεός. τούτου συνεχῶς
καὶ πολλάκις γινομένου, παρωρμήθησαν Λα-
κεδαιμόνιοι, καὶ ἐλθόντες ἐξέβαλον ἀπὸ τῶν
Ἀθηνῶν τοὺς τυράννους. μέγα οὖν κλέος ἔ-
σχεν ἔκτοτε ὁ Ἀλκμαίων, ἐλευθερώσας σοφίᾳ
τὰς Ἀθήνας. ἀλλὰ τοσαῦτα περὶ Ἀλκμαίωνος.

Αἰακὸς δὲ τέταρτος ἡμῖν κείσθω. ὁ Αἰακὸς δὲ
οὗτος ἐλέγετο υἱὸς τοῦ Διὸς εἶναι δίκαιός τε
μάλιστα. διό ποτε ἀβροχίας γινομένης ἐν τῇ
Ἑλλάδι, ἦλθον πρὸς αὐτὸν οἱ προεστῶτες τῶν
πόλεων, παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πα-
τρί, ἵνα γένηται ὑετός. ὁ δὲ στὰς καὶ εὐξά-
μενος ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμούς,

http://digital.slub-dresden.de/ppn345561333/7

καὶ κατέρρουη ὕδωρ πολλὸν τὴν ἑλλάδα. μάλιστα οὖν ἐκ τούτου ἡ εὐσέβεια ἐδείχθη τοῦ αἰακοῦ. ἔτος οὖν γεννᾷ δύο υἱοὺς, τὸν πηλέα καὶ τὸν τελαμῶνα, ὧν ὁ μὲν πηλεὺς τίκτει τὸν ἀχιλλέα, ὁ δὲ τελαμὼν, τὸν αἴαντα, οἵτινες ἐκαλοῦντο αἰακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἐκ τῆς προσφερόμενοι. λοιπὸν οὖν ὑπολείπεται ἡρακλῆς ἡμῖν.

Ἡρακλῆς οὖν, λέγεται υἱὸς γεγονέναι τοῦ διός. ὁ γὰρ θεὸς ὁμοιωθεὶς τῷ ἀμφιτρύωνι, συνεγένετο τῇ ἀλκμήνῃ, καὶ ἐγεννήθη ὁ ἡρακλῆς, ὃς καὶ τοὺς μεγάλους ἐκείνους ἄθλους διήνυσε. πολλοὶ οὖν γεγόνασιν ἀπὸ ἡρακλέους, ὧν πρῶτος καὶ ἔνδοξος ὁ ὕλλος, ἐξ οὗ οἱ λακεδαιμονίων βασιλεῖς. πάντες οὖν οἱ βασιλεῖς τῶν λακεδαιμονίων ἡρακλεῖδαι ἐλέγοντο.

β.

Δευτέρα ἐστὶ ἱστορία ἡ περὶ ἐλαφηβόλων καὶ ὠρίωνος καὶ ἀκταίωνος.

τὴν ἄρτεμιν λέγουσι τῆς κατὰ θήραν τέχνης εἶναι ἔφορον. λέγεται οὖν αὕτη ἡ θεὸς βάλλειν ἀδόλως τὰς ἐλάφους, ὥστε ἀκοῦσαι τὴν ἄρτεμιν ἐλαφηβόλον θεόν. ὁ δὲ ὠρίων καὶ ἀκταίων θηρευταὶ καὶ οὗτοι ὑπῆρχον. ὁ μὲν οὖν ἀκταίων κυνηγέτης ἦν καὶ εἶδεν ἄρτεμιν γυμνήν. ἦν δὲ τοῦτο ἀθέμιτον τοὺς θεοὺς ἰδεῖν γυμνὰς καὶ μάλιστα τὰς παρθένους θεάς. χολωθεῖσα οὖν ἡ ἄρτεμις μανῆναι ἐποίησε τοὺς κύνας αὐτοῦ τοῦ ἀκταίωνος, καὶ ὡς ἔλαφον ἔχοντα κέρατα ἑώρων αὐτόν, καὶ λαβόμενοι αὐτοῦ ἀνεῖλον αὐτὸν οἱ κύνες ἕως, ὥστε λέγεσθαι τὸν ἀκταίωνα ὑπὸ κυνῶν βρωθῆναι. καὶ ὁ ὠρίων δὲ

οὗτός ἐστιν, ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ὑπὸ τοῦ [1]Βασιλέως τοῦ Θηβῶν βασιλέως ἐπὶ τῇ φιλοξενίᾳ τῶν θεῶν γεννηθείς. γενόμενος δὲ οὗτος ὁ Ὠρίων καὶ ὢν θηρολέτης ἠράσθη τῆς Ἀρτέμιδος, ἀλλ' ἡ θεὸς ὀργισθεῖσα ἀνῆκε σκορπίον κατ' αὐτοῦ καὶ πληγεὶς οὗτος ἀπέθανε. διό ἐστιν ἐν τῷ οὐρανῷ, ὡς οἱ μῦθοι λέγουσι, μετὰ τοῦ σκορπίου.

[1] Βασιλέως erat in Codice adscriptum a manu recentiori.

Τρίτη ἐστὶν ἱστορία ἡ περὶ τῆς ἀντιδοθείσης ἐλάφου ὑπὲρ τῆς παρθένου, ἥτις κεῖται ἐν ἑβδόμῃ ἱστορίᾳ ἐν τῷ πρώτῳ [illegible] λόγῳ Αἰλιανοῦ, ἔστι δὲ αὕτη.
Ὅτε ὁ ἀπὸ τῆς Ἑλλάδος ἀπόστολος τῶν Ἑλλήνων ἐπὶ Τροίαν ἐγίνετο ἐν τῇ Αὐλίδι τῆς Βοιωτίας, θυσίας γενομένης τῇ Ἀρτέμιδι, καὶ τῆς θυγατρὸς τοῦ Ἀγαμέμνονος Ἰφιγενείας ἐπιδοθείσης τυθῆναι, ἡ Ἄρτεμις ἐλεήσασα τὴν παρθένον, ἐξήρπασε καὶ ἀποτίθησι παρὰ τοῖς Ταύροις ἐν Σκυθίᾳ. ἔλαφον δὲ ἀντὶ τῆς παρθένου φανῆναι ἐποίησεν, ἥντινα λαβόντες ἔθυσαν οἱ Ἕλληνες. ἡ δὲ Ἰφιγένεια ἐν Σκύθαις ἱέρεια ἦν τῆς Ἀρτέμιδος.

Τετάρτη ἱστορία ἐστὶν ἡ περὶ τοῦ Θεσσαλικοῦ ἄντρου. ἔστι δὲ αὕτη.
Γεννηθεὶς ὁ Ἀχιλλεὺς ὑπὸ Θέτιδος παρεδόθη τῷ Χείρωνι τροφεῖ ἅμα καὶ διδασκάλῳ τῆς τοξείας χρησόμενος. ἦν δὲ οὗτος ὁ Χείρων ἱπποκένταυρος οἰκῶν ἄντρον τι καὶ θαυμαστὸν ἐν Θεσσαλίᾳ. ὁ οὖν Χείρων λαβὼν τὸν Ἀχιλλέα καὶ ἐπικαθίσας ὄπισθεν ἑαυτοῦ κατὰ τοῦ ἱππικοῦ μέρους οὕτως ἐγύμναζε καὶ ἐδίδαξεν αὐτὸν τὴν τοξικήν.

http://digital.slub-dresden.de/ppn345561333/9

οὐ γάλακτι καὶ ἄρτῳ τρέφων αὐτόν, ἀλλὰ μυελοῖς ἐλάφων καὶ ἄλλων θηρῶν. διὸ καὶ Ἀχιλλεὺς ὠνομάσθη, ὡς μὴ μεταλαβὼν τοῦ χιλοῦ. χιλὸς γὰρ ἡ τροφή.

ε.

Περιπαθὴ ἱστορία ἔστω, ἡ περὶ τῆς στροφῆς τῆς σφενδόνης τοῦ Γύγου. ταύτης τῆς ἱστορίας ἐμνήσθη καὶ ἐν τοῖς σημειωτικοῖς ἐν τῇ πεντηκοστῇ περιπαθὴ ἱστορίᾳ. ἔστι δὲ αὕτη.

Πλάτων ἐν ταῖς πολιτείαις λέγει, ὡς ὁ Γύγης ἔτος ποιμὴν ἦν, καὶ ποιμαίνων εὗρε κεχασμένον ἵππον χαλκοῦν, ἐν ᾧ ἵππῳ ἔνδοθεν εὗρεν ἐνόντα νεκρὸν ἄνθρωπον φοροῦντα δακτύλιον, καὶ λαβὼν τὸν δακτύλιον εἶχε. καὶ ὅτε μὲν ἔστρεφε τὴν σφενδόνην τοῦ δακτυλίου, ἐγίνετο ἀφανής, ὅτε δὲ ἀντέστρεφεν, ἐγίνετο ἐμφανὴς τοῖς οὖσιν. σφενδόνη δέ ἐστι ἡ κεφαλὴ τοῦ δακτυλίου. ἦν δὲ αὕτη στρεπτή. ἔχων οὖν τοῦτον τὸν δακτύλιον ἐλθὼν ἐπὶ τὰ βασίλεια τῶν Λυδῶν καὶ ἀντιστρέψας τὴν σφενδόνην, ἐγένετο ἀφανής, καὶ εἰσελθὼν ἀπέκτεινε τὸν βασιλέα, καὶ ἔλαβε τὴν βασιλείαν. ὁ δὲ Ἡρόδοτος ἄλλως ἱστορεῖ τὰ κατὰ τὸν Γύγην, ὅτι ἐπιτροπῇ τῆς δεσποίνης ἀπέκτεινε τὸν Κανδαύλην ὁ Γύγης καὶ ἐβασίλευσεν.

ϛ.

Ἕκτη ἐστὶν ἱστορία ἡ κατὰ τὸν Μίδαν.

Ὁ Μίδας ἔτος Φρυγίας ἦν βασιλεύς. ἦν δὲ φιλάργυρος καὶ χρυσομανής τις, ὡς τὸ ἔργον ἐδήλωσεν. ηὔξατο οὖν οὗ ἐὰν ἅψηται, χρυσὸς γένηται. εἰσηκούσθη οὖν οὗτος, καὶ οὗ ἐὰν ἥψατο ἢ χειρὶ ἢ στόματι, χρυσὸς ἐγίνετο.

καὶ ἕως μὲν ἦν αὐτῷ πάντα χρυσοῦ. φαγεῖν δὲ μὴ δυνάμενος ἀπώλετο. καὶ γὰρ ἡ τροφὴ καὶ διδομένη αὐτῷ διὰ τοῦ στόματος ἀπεχρυσοῦτο. ἐφθάρη οὖν τῷ λιμῷ. ἱστοροῦσι δὲ ἄλλοι τινὲς, ὅτι χρησμὸν λαβὼν ἔζησεν. ἦν δὲ ὁ χρησμὸς, διελάσαι ἅρματι, καὶ ὅπου ἐὰν ἐπισχεθῇ τὸ ἅρμα, στῆναι καὶ κτίσαι πόλιν. καὶ ἐπορεύθη ἕως καὶ κτίζει τὴν ἄγκυραν τῆς γαλατίας. ἄγκυρα γὰρ σιδήρεον πλοίου πολεμίου. ἐπέσχε τὸ ἅρμα καὶ ἔστησε τὸν μίδαν. καὶ ἕως ἐκτίσθη ἡ πόλις καὶ ἐκλήθη ἄγκυρα.

ζ'.

ἑβδόμη ἐστὶν ἱστορία ἡ περὶ τοῦ ἀβάριδος οἰστοῦ. ταύτης τῆς ἱστορίας μέμνηται ἡρόδοτος ἐν τῇ τετάρτῃ. ἔστι δ' αὕτη.

Ἄβαρις ἐξ ὑπερβορέων ἦν ἄνθρωπός τις. οἱ δὲ ὑπερβόρειοι ἀρχαιότεροι εἰσὶ καὶ ἐνδοξότεροι τῶν σκυθῶν. οὗτος οὖν ὁ ἄβαρις λέγεται ἔνθους γενόμενος περιιέναι τὴν ἑλλάδα κύκλῳ μετὰ τοῦ βέλους καὶ χρησμούς τινας καὶ μαντείας λέγειν ὡς ἔνθους. λυκοῦργος δὲ ὁ ῥήτωρ μέμνηται τοῦ ἀβάριδος ἐν τῷ κατὰ μενέσχου λόγῳ λέγοντι, ὅτι λιμοῦ γενομένου ἐν τοῖς ὑπερβορέοις, ἦλθεν ὁ ἄβαρις ἐν τῇ ἑλλάδι καὶ ἐμισθώτευσε τῷ ἀπόλλωνι καὶ ἐδιδάχθη παρ' αὐτοῦ τὸ χρησμολογεῖν, καὶ ἔτι κρατῶν τὸ βέλος ὡς σύμβολον τοῦ ἀπόλλωνος· τοξότης γὰρ οὗτος ὁ θεός· περιῄει χρησμολογῶν πᾶσαν τὴν ἑλλάδα.

Istud iota in syllaba penultima vocabuli μενέσχου a manu recentiori videbatur profectum in Cod. Fabricius Bibl. Gr. Vol. 1. p. 917. laudat Lycurgi orationem κατὰ μενεσαίχμου. vide Harpocrat. pag. 28. 46. 56. 102. 153. et 157. edit. Gronov.

ὀγδόη ἐστὶν ἱστορία ἡ κατὰ τὸν πήγασον. ἔστι

http://digital.slub-dresden.de/ppn345561333/11

δὲ αὕτη.

Ἀσαφὴς ἡ κατὰ τὸν Βελλεροφόντην. τῆς γὰρ παλαιρινῆς Χιμαίρας ἀναφανείσης, ἧς μέμνηται καὶ ὁ θεῖος οὗτος Γρηγόριος ἐν τοῖς στηλιτευτικοῖς ἐν ἱστορίᾳ πεντηκοστῇ, καὶ λυμαινούσης τὴν χώραν τῶν Λυκίων καὶ τοῦ Προίτου βασιλεύοντος τῆς Λυκίας, προσετάχθη ὁ Βελλεροφόντης ἀποκτεῖναι τὴν Χίμαιραν. ἦν δὲ τὸ θηρίον ὡς κἀκεῖσε παρεστήσαμεν, τοιοῦτον, πρόσθε μὲν λέων, ὄπισθε δὲ δράκων, μέσση δὲ χίμαιρα, ἐξ ἧς χιμαίρας τὸ πῦρ ἀνεδίδοτο. καὶ ἦν δυσάλωτον τὸ θηρίον. τὸν ἵππον οὖν τὸν Πήγασον ἐκ θεοῦ εὑρὼν ὁ Βελλεροφόντης, ὃς ἐλέγετο ἔχειν πτερὰ καὶ ὕδωρ ἀπὸ τῶν ὀνύχων ἀποστάζειν, ἐλθὼν, σύμμαχον εὑρὼν τὴν πτῆσιν τοῦ ἵππου διὰ τὸ εἶναι πτερωτὸν ὡς εἶπον, καὶ σφαῖραν μολίβδου ἀρτηθεὶς ἐν τῷ ἄκρῳ τοῦ δόρατος αὐτοῦ ὁ Βελλεροφόντης ἐνέβαλεν εἰς τὸ στόμα τῆς Χιμαίρας, καὶ ἀπὸ τοῦ πυρὸς διελύθη ὁ μόλιβδος καὶ ἀνεῖλε τὴν Χίμαιραν.

Ἐνάτη ἱστορία ἐστὶν, ἡ περὶ τοῦ Ἀλφειοῦ. ἔστι δὲ αὕτη.

Ἀλφειὸς ποταμός ἐστι τῆς Ἀρκαδίας. Ἀρκαδία δὲ πόλις ἐστὶ τῆς Πελοποννήσου. ἔστι δὲ πηγὴ ἐν Σικελίᾳ τῇ νήσῳ, Ἀρέθουσα ὄνομα. λέγεται οὖν, ὅτι Ἀλφειὸς ποταμὸς ἠράσθη τῆς πηγῆς τῆς Ἀρεθούσης, καὶ ἐρασθεὶς διαδὺς τὸ πέλαγος ἀναδίδοσθαι ἐν Σικελίᾳ παρὰ τὴν

ῥέουσαν πηγὴν, μὴ συναναμιχθεὶς τῇ ἁλμυρίδι τῆς θαλάσσης, ἀλλὰ καθαρὸν τὸ νᾶμα διαφυλάττων πρὸς τὴν ἐρωμένην. μετὰ ταῦτα δὲ ἔστι καὶ ἡ περὶ τῆς σαλαμάνδρας ἱστορία.

ι.

Δεκάτη ἐστὶν ἡ περὶ τῆς σαλαμάνδρας ἱστορία.
Αὕτη ἡ σαλαμάνδρα ζῶον ἐστὶν, ὡσεὶ σαύρας τὸ μέγεθος ἢ μικροῦ κροκοδείλου τὸ μέγεθος χερσαίου. ἔστι δὲ ψυχρότατον ὑπερφυῶς τὸ ζῶον, ὥστε ἐν πυρὶ ἐρχόμενον τὴν μὲν φλόγα σβεννύναι, αὐτὸ δὲ μὴ κατακαῆναι.

ια.

Ἑνδεκάτη ἐστὶν ἱστορία ἡ περὶ τοῦ Λυδίου ἅρματος.
Ἔστι παροιμία ταύτη ἐπὶ τῶν ἐρίζειν θελόντων καὶ μὴ δυναμένων ἐξικνεῖσθαι. ἔστι δὲ ἡ παροιμία παρὰ Λύδιον ἅρμα θεῖν. πεποίηται δὲ ἀπὸ τῶν Λυδίων ἁρμάτων ὡς ταχυτάτων ὄντων καὶ μὴ δυναμένων φθασθῆναι. ἄλλοι δὲ, ὅτι ἀπὸ τοῦ Πέλοπος ἅρματος ἤκουσεν ἡ παροιμία. τινὲς δὲ λέγουσιν, ὅτι ὁ Πέλοψ Λυδὸς ἦν καὶ οὐχὶ Φρύξ. τῷ οὖν ἰδίῳ ἅρματι ἐνίκησε τὸν Οἰνόμαον καὶ ἔκτοτε ἡ παροιμία παρῆλθε, παρὰ Λύδιον ἅρμα θεῖν.

ιβ.

Δωδεκάτη ἐστὶν ἱστορία ἡ περὶ τοῦ Ὀρέστου καὶ Πυλάδου. ἔστι δὲ αὕτη.
Ὁ Ὀρέστης οὗτος ἐστὶν υἱὸς τοῦ Ἀγαμέμνονος. φιλίαν δὲ τοσαύτην ἔσχε πρὸς τὸν Πυλάδην καὶ Πυλάδης πρὸς τὸν Ὀρέστην, ὥστε καὶ ἀποθανόντος Πυλάδου συγκατελθεῖν τὸν Ὀρέστην μέχρι τοῦ ᾅδου.

ιγ.

Τρισκαιδεκάτη ἐστὶν ἱστορία ἡ κατὰ τοὺς Μολιονίδας. ἔστι δὲ αὕτη.

http://digital.slub-dresden.de/ppn345561333/13

Μολιόνη ἦν τις γυνὴ περὶ τὴν θράκην οἰκοῦ-
σα. αὕτη ἔσχε δύο υἱούς, τὸν ἕνα ὦτον καὶ τὸν
δεύτερον ἐφιάλτην. οὗτοι καθ᾽ ἐνιαυτὸν ηὔξανον-
το κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ
πλάτος σπιθαμὴν μίαν. γεγόνασι δὲ ὑβρισταὶ
οὗτοι καὶ ὑπερήφανοι, καὶ τοσοῦτον ἐφρόνησαν,
ὥστε βουλεύσασθαι ἀντᾶραι τοῖς μὴ οὐρανίοις
θεοῖς. τὴν οὖν ὄσσαν τῷ ἄθῳ ἐβουλεύσαντο
ἐπιθεῖναι καὶ δι᾽ αὐτῶν εἰς τὸν οὐρανὸν ἀνελ-
θεῖν. ἡ δὲ ὄσσα καὶ ὁ ἄθως δύο ὄρη εἰσὶ πε-
ρὶ τὴν θράκην. ὁ οὖν ζεὺς ὀργισθεὶς κεραυ-
νὸν ἐπαφεὶς ἐκεραύνωσεν αὐτοὺς καὶ ἀπώ-
λοντο. ἦν δὲ πρότερον περὶ τῆς κεραυνώσε-
ως αὐτῶν χρησμὸς δοθεὶς τῇ μητρὶ αὐτῶν,
ὅτι διὰ τὴν ὑπερηφανίαν αὐτῶν κεραυνωθή-
σονται.

ιδ.

Τεσσαρεσκαιδεκάτη ἐστὶν ἱστορία, ἡ περὶ τοῦ λα-
βυρίνθου. ἔστι δὲ αὕτη.
Ἐν τῇ κρήτῃ τῇ νήσῳ ἔστιν ἐν αὐτῇ ὄρος, ἐν ᾧ
σπήλαιον αἰνιγματῶδες καὶ δύσκολον περὶ τὴν κάθ-
οδον καὶ δυσχερὲς πάλιν περὶ τὴν ἄνοδον,
ἐν ᾧ λέγεται ὁ μινώταυρος ἐμβληθῆναι.
ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι τοῦ λαβυρίν-
θου, νῦν ὁ θεῖος γρηγόριος ἔλαβεν αὐτὸ
ἐπὶ τῶν λόγων τῶν ἀφύκτων, ὧν οὐδεὶς ἠδύ-
νατο ἐκφυγεῖν ἀλλ᾽ ἠλίσκετο. ἐπιφέρει γὰρ
καὶ τὰς ἄρκυς. ἄρκυς δέ ἐστιν εἶδος δικτύου
παχυσχοίνου, ὃ ἱστῶσι πρὸς θήραν λεόντων
ἢ ἄρκτων ἢ ἐλάφων ἢ κατὰ τῶν ἄλλων ἰ-
σχυρῶν ζώων.

http://digital.slub-dresden.de/ppn345561333/14

Πεντεκαιδεκάτη ἐστὶν ἱστορία, ἡ περὶ τοῦ μίνωος καὶ τοῦ ῥαδαμάνθυος. ἔστι δὲ αὕτη.

Μίνως καὶ ῥαδάμανθυς λέγονται υἱοὶ εἶναι τοῦ διός, ὧν ὁ μὲν μίνως ἦν νομοθέτης παρὰ τοῦ διὸς δεξάμενος τὴν νομοθετικήν· ὁ δὲ ῥαδάμανθυς δικαστὴς δίκαιος, ὥσπερ ἀπὸ τοῦ πατρὸς τὴν δικαιοσύνην μαθών. λέγουσιν οὖν περὶ τούτων οἱ ποιηταὶ καὶ πλάτων δὲ αὐτός, ὅτι τούτους ἀποθανόντας οὐχὶ δέχεται σκότος, ἀλλὰ μακάρων νῆσοι καὶ τὸ ἠλύσιον πεδίον. ὄνομα δὲ τόπου τὸ ἠλύσιον, οἱονεὶ ἀλύσιον καὶ ἀπολύσιον κολάσεως. φασὶν οὖν ἐν τούτοις οἱ παρ' αὐτῶν δίκαιοι μετὰ θάνατον αὐλισθήσονται. τὸ δὲ τοῦ ἀσφοδελοῦ ὄνομα φυτοῦ, βοτάνης ἐστὶν ὄνομα, ἔχοντος ὀδμὴν ἢ φαύλην καὶ τὸ ἄνθος ἐπιτερπὲς καὶ ἡ ῥίζα ὠφέλιμος.

ὅτι κειμένας

15.

Ἑκκαιδεκάτη ἐστὶν ἱστορία, ἡ περὶ τῶν γαδείρων.

Γάδειρος τόπος ἐστὶ περὶ τὰ ἑσπέρια μέρη. ὁ τόπος δὲ οὗτος ἀποτελεύτησίς ἐστι θαλάττης καὶ οἱονεὶ ἐκροή τις οὖσα ἀπὸ τῆς ὡς πρὸς ἡμᾶς θαλάττης, εἰς τὴν ἀτλαντίδα θάλατταν. λέγεται οὖν μηκέτι μετὰ γάδειρα πλεῖσθαι τὴν θάλατταν ἐκείνην, διὰ τὸ εἶναι βραχώδη καὶ σκοτεινήν. γάδειρα δὲ ἤκουσε παρὰ τὴν γῆν καὶ τὴν δειρήν. δειρὴ δὲ καλεῖται ὁ τράχηλος. παρὰ τὸ οὖν τῆς γῆς εἶναί τινα τράχηλον ἐκεῖσε γάδειρα ἤκουσεν.

16.

Ἑπτακαιδεκάτη ἐστὶν ἱστορία, ἡ περὶ τοῦ ἵππου τοῦ ῥήξαντος τὸν δεσμόν. ἔστι δὲ αὕτη.

Ὅμηρος ὁ ποιητής, βουλόμενος τὴν ἕκτορος ὀξύτητα καὶ θερμότητα τὴν περὶ πόλεμον ἐκφράσαι, διὰ παραβολῆς εἴκασε τὸν ἥρωα, εἰπὼν τόδε τὸ ἔπος.
ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ.

http://digital.slub-dresden.de/ppn345561333/15

Ὀκτωκαιδεκάτη ἱστορία ἐστὶν ἡ περὶ τῶν σπαρέντων καὶ φυέντων αὐθημερὸν γιγάντων. ἔστι δὲ αὕτη.
Ἐν Θήβαις ταῖς τῆς Βοιωτίας λέγεται, ὅτι Κάδμος ἄλλος τις λαβὼν τοὺς τοῦ δελφινίου δράκοντος ὀδόντας, ἔσπειρεν εἰς τὴν γῆν, καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηρῶν ἕως ἄνω καὶ ὅλως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις καὶ τοῖς ἄλλοις:

ιθ.

Ἐννεακαιδεκάτη ἐστὶν ἱστορία, περὶ τῶν ἑπταπύλων Θηβῶν καὶ τῶν Αἰγυπτίων. ἔστι δὲ αὕτη.
Ὁ θεῖος Γρηγόριος περὶ θεαμάτων βούλεται εἰπεῖν ἡμῖν οὑτωσί· αἱ δὲ Θῆβαι αἱ ἑπτάπυλοι εἰσὶν αἱ τῆς Ἑλλάδος, αἱ ὑπὸ Ἀμφίονος καὶ Ζήθου κτισθεῖσαι διὰ κιθάρας. αἱ δὲ Αἰγύπτιαι Θῆβαι, εἰσὶν ἑκατοντάπυλοι. μεγίστη δὲ πάλαι γέγονε, καὶ ὅλως μεγίστη, ὥστε ἑκατὸν ἔχειν τὰς πύλας, τὰ δὲ τείχη τὰ Βαβυλώνια λέγεται εἶναι ἰσχυρότατα, ἀπὸ γὰρ πλίνθου ὀπτῆς καὶ ἀσφάλτου λυομένης ἐπήχθησαν καὶ τὸ πλάτος ἔχοντα πολὺ καὶ τὸ ὕψος καὶ τὴν περιφέρειαν πολλήν.

κ.

Εἰκοστή ἐστιν ἱστορία, ἡ περὶ Μαυσώλου τοῦ Καρὸς τάφου.
Τάφος Μαυσώλου τοῦ Καρὸς κάλλιστός ἐστι καὶ αὐτός. Μαύσωλος γὰρ Καρίας γέγονε τύραννος, ὃς ἐποίησεν ἑαυτῷ τάφον πολυανάλωτον ἐγχώματί τινι καὶ ἐν διηναζούσῃ λίμνῃ, ἔνδον κειμένου τοῦ τάφου. γράφεται δὲ καὶ ὁ Καρικὸς τάφος, ἵνα ᾖ κτητικόν. γράφεται δὲ καὶ ὁ Καρός, ἵνα ᾖ ἐθνικὸν τοῦ Μαυσώλου τοῦ Καρός. αἱ δὲ πυραμίδες καὶ αὐταὶ θεάματος ἄξιαι

ἐν τῇ Αἰγύπτῳ εἰσὶ, ἐκτισμέναι πολυανάλωτοι, ἅσ-
τινας Χριστιανοὶ μὲν λέγουσιν εἶναι τὰ ὡρεῖα τοῦ
Ἰωσήφ· Ἕλληνες δὲ, τάφους βασιλέων τινῶν, ὧν ἐστι
καὶ Ἡρόδοτος. ὡς δὲ εἰκὸς μετὰ τοὺς χρόνους
τοῦ Ἰωσὴφ καὶ τὴν ἔξοδον τοῦ Ἰσραὴλ, ἐποιήσαντο
αὐτὰς τάφους βασιλέων οἱ Ἕλληνες. περὶ δὲ τοῦ
κολοσσοῦ λέγεται τοῦ ἀνακειμένου ἐν Ῥόδῳ, ὅτι
μέγιστος ἐστὶν ὁ ἀνδριὰς, χαλκοῦ ἔχων πολὺν, καὶ
ἀξιοθαύμαστον θέαμα.

http://digital.slub-dresden.de/ppn345561333/18

Msc. Dresd.
A 150.

http://digital.slub-dresden.de/ppn345561333/19

http://digital.slub-dresden.de/ppn345561333/20